
ΝΙΚΗΦΟΡΟΣ ΙΕΡΟΜΟΝΑΧΟΣ Ο ΘΕΟΤΟΚΗΣ

ΤΟΙΣ ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ.

ὸν ΘΕΟΝ ἐπαινεῖν πρόκειται τῷ τὰς θεοπνεύστους ἐπαινέσεσθαι Γραφὰς
αἱρουμένῳ· εἴ γε δὴ καὶ νομοθέται γεραίρονται τῶν οὓς συνέθεντο νόμων
εὐφημουμένων· ἐνθέντοι καὶ ὑπὲρ τὴν ἀνθρωπίνην τ' ἐγχείρημα πέφυκε
δύναμιν, τοῦ Θεοῦ μόνου πρὸς τοῦτο ἐξαρκοῦντος, καίγε δὴ καὶ ἀποχρόν-
τως αὐτὰς ἐπαινέσαντος. ὃ γὰρ αὐτός ἐστί τε καὶ λέγεται, τοῦτο καὶ αὐ-
τὰς παρὰ τοῦ ὑπ' αὐτοῦ μυηθέντος ἐπικληθῆναι ηὐδόκησε· Φῶς τὰ προστάγματά σου. Ἡσ. 26.
ἀλλὰ γὰρ τί ἂν περὶ τῆς ἐν αὐταῖς ἀσαφείας φαίη τις καὶ δεινότητος; Θεὸς, φησί που 9.
„ τις τῶν ἁγίων, οὕτως ἐπετήδευσεν ἐπ' ὠφελείᾳ τοῦ νοῦ, ἵνα τούτοις ἐνασχολῆται, καὶ τῶν Βασ. λ. 4.
„ χειρόνων ἀφέλκηται. πῇ μὲν διὰ τὴν ἕξιν, εἴρηκε τῶν σοφῶν ἄλλος, οὐ πάνυ συγκε- εἰς τὸν
„ κροτημένην· πῇ δὲ διὰ τὴν προπέτειαν· ἔσθ' ὅτε κἂν συγκεκροτημένος τις τυγχάνῃ Ἡσ.
„ καὶ εὐπρόσωπος, διὰ τὴν εἰς ὑπερβολὴν χαλεπωτάτην εὕρεσιν τῶν πραγμάτων τοῖς Ὠρ. εἰς
„ ἀνθρώποις οὐ πάνυ σαφηνίζεται ὁ περὶ τούτων ἑκάστου λόγος. τούτοις δ' οὐκ ἂν εἴη ἀπει- τὴν φιλ.
κὸς προσιθέναι καὶ τόδε· καὶ διὰ τὸ τὴν φύσιν καὶ τὰ κρίματα τοῦ περὶ οὗ αὐτῶν ὁ λόγος
ἀνεξιχνίαστα εἶναι καὶ ἄγαν δυσέκφραστα, καὶ διὰ τὸ μόνοις τὴν γνῶσιν ἐκείνων ἐναπο-
„ τεταμιεῦσθαι, οἷς αὐτὸς διδόναι βούλεται. ὑμῖν γάρ φησι δέδοται γνῶναι τὰ μυστήρια. Ματθ.
ἐκ τούτων οὖν τὸ τῆς ὁδηγίας ὅσον ἐπάναγκες κατιδεῖν ῥᾴδιον. ἥνπερ δὴ καὶ ὁ τῆς Βα- 13. 11.
σιλίσσης τῶν Αἰθιόπων εὐνοῦχος ζητήσας τε καὶ τυχὼν, τὴν σωτηρίαν ἀπώνατο. εἰ
μὲν οὖν καὶ εἷς μόνος χειραγωγῶν ἐπήρκεσε, πόσῳ γε μᾶλλον οἱ πολλοὶ εἰς ἓν συνελ-
θόντες, καὶ χεῖρα πάντες προτεταμένην ἔχοντες, καὶ οἱ μὲν τὸ γράμμα συμβιβά-
ζοντες, οἱ δὲ τὰ περὶ τὴν ἱστορίαν ἐξυφαίνοντες, οἱ δὲ τῆς ἀναγωγῆς τὸν νοῦν ἀνορύττον-
τες, οἱ δὲ τὸν ἀλληγορικὸν σκοπὸν ἐμφαίνοντες, καὶ ἄλλοι τὸ τῶν Γραφῶν ἠθικὸν πα-
ρατιθέντες μάθημα; θεῖος ὄντως ὁ τοιόσδε σύλλογος, καὶ χορὸς οὐράνιος τὸ σωτήριον
συνεπᾴδων μελῴδημα. τοῦτον οὖν ἡμῖν ὁ τῶν ἡγεμόνων ἄριστος ΓΡΗΓΟΡΙΟΣ ὁ τῶν πε-
ριπύστων ΓΚΙΚΑΔΩΝ περικλεέστερος ἀπόγονος, ἐπ' ὠφελείᾳ τοῦ τῶν ὀρθοδόξων γένους
συνεκρότησε, τὸ τεῦχος εἰς μέσον προθέμενος. πόθεν δὲ τοῦτο προέκυψε, καὶ ὁποῖόν
ἐστι, καὶ ὅπως συνταγὲν τύποις ἐκδέδοται χρεὼν ὑμῖν δηλῶσαι.

Ὅτε ἐν Κωνσταντινουπόλει τὰς διατριβὰς ποιούμενος, ἐν τῇ ὑπερτίμῳ τοῦ ΗΓΕΜΟΝΟΣ οἰκίᾳ φιλοφρόνως ἐξενιζόμην, τὰς τῆς ἐν αὐτῇ βιβλιοθήκης ἀνελίττων βίβλους, καὐτῇ, μεθ' ὅσης χαρᾶς οὐχ οἷόν τέ μοι εἰπεῖν, ἐντυγχάνω. μηκέτι οὖν ἐν γωνίᾳ καὶ παραβύστῳ, τοιαύτην οὖσαν, ἐναποκρύπτεσθαι δεῖν ἀνελογιζόμην, ἀλλ' ἀνακύψαι ποτὲ, καὶ ἐφ' ὑψηλῆς τῆς τοῦ τύπου περιοπῆς ἀρθῆναι. μόλις οὖν ἔφθην τὸ διασκεπτόμενον ἐξαγγείλας, ΚΑιΚΕΙΝΟΝ τὸν ὄντως ὑπὲρ πάντας ἐν πᾶσι τοῖς καλοῖς προθυμούμενον, οὐ μόνον μετρίως διατεθειμένον εὗρον, ἀλλὰ καὶ σφόδρα ἐπιγαννύμενον τῷ πράγματι, καὶ ταχεῖαν προσεπιζητοῦντα τὴν τούτου ἐκπλήρωσιν. πρὶν μὲν οὖν ἢ τοῦ ἔργου ἐνάρξασθαι, τοῦ καὶ ἄλλας ὁμοίας τῇ διαληφθείσῃ ἐξευρεῖν πάντα κάλων ἐκίνησα· ὡς ἂν τῇ παραθέσει τὰ ἐκ παραδρομῆς ἐλαττώματα, καὶ αἱ ἐκ τῆς παλαιότητος παραφθοραὶ, καὶ αἱ λοιπαὶ ὁποιαιοῦν ἐλλείψεις, ὅσον οἷόν τε ἀναπληρωθῶσιν ἀκριβέστερον· καὶ γὰρ οὐ μόνον τὰς ἐκεῖ κοινάς τε καὶ μερικὰς, ἀλλὰ καὶ τὰς τῶν ἱερῶν ἐν Χάλκῃ καταγωγίων

πολυε-